ὡς ἀκοαῖς πολέμιον ἀποσείεται· ἀλλ᾿ εἴ τί που μετὰ τοῦ κομψοῦ καὶ ἡδονὴν ἔχει, τοῦτο ἐπιτηδεύει. παρισώσεις οὖν καὶ παρηχήσεις καὶ τὸν ἄλλον περίαπτον κόσμον ὑπερφιλεῖ μὲν ὁ ἡμέτερος χαρακτήρ· ἀποκρύπτεται δὲ τὰ πολλά, κἂν ἐκ ταὐτομάτου ἐκεῖνα ἐπίῃ, δεδοικὼς μὴ καὶ παιδευτικώτερον ὡραΐζεθαι δόξειεν. ἔστι καὶ ἱστορίας εὑρεῖν παρ᾿ αὐτῷ, καὶ παροιμιάζεται πολλαχοῦ, ἀλλ᾿ οὐκ ἐπὶ τοσοῦτον οὐδ᾿ ἱστορικώτερον, ἀλλὰ λογικώτερον· τὸ μὲν γὰρ ὑπτιασμὸν δυστυχεῖ, τὸ δ᾿ ἀτεχνίαν νοσεῖ καὶ εἰς ἀσάφειαν ἐκτραχηλίζει, κἂν δελεάζῃ τῷ πυκνῷ καὶ τῷ πολυμαθείας εὖ ἔχειν δοκεῖν ὑποσαίνῃ. ἅπτεται καὶ τῆς ἠθικῆς φιλοσοφίας ἐνιαχοῦ, παρακεντρίζει καί τινας τῶν ὑψηλοτέρων ἐννοιῶν, ὡς καὶ αὐτῶν ψαύειν ἀστέρων καὶ οὐρανοῦ φύσεως, ἤδη δὲ καὶ εἰς τὸν τοῦ παντὸς δημιουργὸν ἄνεισιν, ἀποσεμνύνων τὸν εὐφημούμενον καὶ ὡς εἰκὸς ἀγάμενος· ταῦτα δὲ εἰ καὶ μὴ τῆς πρώτης καὶ ἀμίκτου, τέως δ᾿ οὖν σεμνότητος.

**13** Ταῦτα κοινὰ πλουτοῦσι πάντες οἱ λόγοι. ὡς ἐκεῖνα ὑπαλλάττουσιν, ὁ ἐπὶ τῷ νομοφύλακι Σοφιστὴς δικαίως ἂν μᾶλλον καλοῖτο· φαντασίαν τε γὰρ μᾶλλον ἐμποιεῖ, καὶ θαμὰ προανακρούεται ὡς οἱ τῶν ᾠδικῶν εὐφωνότεροι σκαίρει τε πλέον ἢ βέβηκεν. ὁ δ᾿ ἐπὶ τούτῳ καὶ δεύτερος εὐπαγέστερά τε τὰ μέλη εὐτυχεῖ καὶ ὑψηγορίαν μᾶλλον ἐπιτηδεύει. ὡς ὅ γε τρίτος γαῦρός ἐστι καὶ ἀγέρωχος 'ἵππος εἰς πεδίον' κροαίνων, παροιμιασαίμην ἂν εὐκαίρως, καὶ ὑπερίπταται τοὺς πρὸ αὐτοῦ· μιμεῖται γὰρ τὴν ὑπερβεβλημένην ὕλην καὶ τηρεῖ τὸ ὑπερέχον λαμυρός τέ ἐστιν ὅτι μάλιστα καὶ πολλαῖς καὶ ἀλλεπαλλήλοις ταῖς λέξεσι καὶ πάσαις ἥδιστον ἀνθούσαις ἀνθοβολεῖ τὸν βασιλέα τῆς βαρβάρου καταδραμόντα καὶ εἰς τὴν οἰκείαν ἄρτι μετὰ τροπαίων ἐλάσαντα. ὡς ὅ γε μετ᾿ αὐτόν, βασιλικὸς μὲν καὶ αὐτὸς καὶ τοῖς αὐτοῖς τροπαίοις ἐπιγαυριῶν, ἀλλ᾿ ἔοικεν ὡς παῖς μητρὶ τῷ μεγάλῳ παρασκαίρειν βασιλικῷ· νεοτελὴς γάρ τις τὰ σοφιστικὰ καὶ ὑποψελλίζων ἔτι τοῦτον τῆς ἐμῆς γλώττης ἐδρέψατο καὶ ἦν ἀνάγκη πᾶσα τὸν λόγον παραμετρεῖσθαι τῷ ῥήτορι. ὁ δ᾿ ἐπὶ τῷ Μουζάλωνι λόγος — νέῳ μέν τινι καὶ ὑπὸ διδασκάλους ἔτι τελοῦντι καὶ τοῦτον ἐχρήσαμεν· ἀλλ᾿ εἴ πού τις μικρά τινα ὑπεξέλοι προσχήματα καὶ δέλεαρ καὶ περίκρυψιν καὶ ἀπάτην ὑφ᾿ ἡμῶν τεθειμένα, ἵν᾿ ὡς ἔτι παῖς καὶ λόγου σοφιστικοῦ πρωτοκύμων μὴ καὶ ὀθνείᾳ δόξῃ τῇ γλώττῃ φθέγγεσθαι ἶσα καὶ αὐλὸς ἐμπνεόμενος, γνοίη ἂν οἶμαι τοῦτον καὶ ὑπερφωνοῦντα τοὺς ἄλλους καὶ τοῦ τεχνικοῦ τύπου μάλιστα ἐξεχόμενον. εἰς ἐπιστήμην καὶ ὁ ἐπὶ τῷ μεγάλῳ δομεστίκῳ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416081606/16 UNIVERSITÄT LEIPZIG